# Psalm 115

Septuaginta (LXX)

**1** αλληλουια ἐπίστευσα διὸ ἐλάλησα ἐγὼ δὲ ἐταπεινώθην σφόδρα

**2** ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μου πᾶς ἄνθρωπος ψεύστης

**3** τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέν μοι

**4** ποτήριον σωτηρίου λήμψομαι καὶ τὸ ὄνομα κυρίου ἐπικαλέσομαι

**6** τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ

**7** ὦ κύριε ἐγὼ δοῦλος σός ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου διέρρηξας τοὺς δεσμούς μου

**8** σοὶ θύσω θυσίαν αἰνέσεως

**9** τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ

**10** ἐν αὐλαῖς οἴκου κυρίου ἐν μέσῳ σου ιερουσαλημ


Druckausgabe erzeugt am 29.04.2025 auf bibelkommentare.de